ſed vtile: quicunque item ex iuuenibus in ſtatúque conſtitutis hominibus vtilitatem ſectantur. Tales autem neque viuere ſimul conſueuerunt: quandoque etiam neque ſunt iucundi: neque tali conſuetudine indigēt, niſi vtiles ſint. eatenus enim ſunt iucundi, quatenus bonum aliquod ſperant. inter has hoſpitalem etiam reponunt. At iuuenum amicitia eſſe ob voluptatem videtur: quippe cùm ex affectu vitam traducāt: & maximè quod ſibi iucūdū eſt, quódq. eſt præſens ſectētur. mutata autem ætate iucūda, ipſa etiam diuerſa euadunt: vnde citò amici & ſiunt, & eſſe deſinunt. quia amicitia vnà cum iucunditate mutatur. talis verò voluptatis velox mutatio eſt. Iuuenes etiam amatorij ſunt: quippe cùm ex perturbationis affectu & voluptate multa illa amatoriæ affectionis vis oriatur. ideo fit vt & ament, & citò deſiſtant, ſæpe eodem die ſententiam mutantes: ſimúlque toto die verſari, & conuiuere velint. ita enim id quod ex amicitia requirunt, ipſis euenit.

CAPVT IIII.

Bonorum verò & eorum qui in virtute ſunt ſimiles, amicitia perfecta demum eſt. hi enim mutuò ſibi bona ſimiliter volunt, quatenus ſunt, boni: boni autem ſunt per ſe. at qui amicis bona volunt ipſorum cauſa, maximè amici ſunt: quippe cùm per ſe, ita ſeſe habeant, & non ex accidenti. vnde horum amicitia præcipuè permanet, quoad boni fuerint: virtus verò ſtabilis res eſt. Eſtque vterque & abſolute bonus & amico. nam boni & abſolutè, & ſibi mutuo boni ſunt: vtiles item, & iucundi ſimiliter. boni enim ſunt & abſolutè, & ſibi mutuo iucundi. ſingulis ſiquidem propriæ actiones, & tales voluptatem afferūt: bonorum autem actiones tales, vel ſimiles ſunt. Vnde fit vt talis amicitia ſtabilis meritò ſit. in ipſa enim omnia quæ amicis eſſe debent, coniunguntur. nam cùm omnis amicitia ob bonum ſit, aut ob voluptatem, vel abſolutè, vel amanti, & per ſimilitudinem quandam: huic omnia antedicta per ſe inſunt. huic enim ſimiles etiam reliquæ ſunt & abſolutè bonum, abſolutéq. iucundum ineſt. hęc autem maximè amabilia ſunt: & amare etiam & quæ maximè eſt amicitia atque optima in his eſt. Par autem eſt, vt raræ tales amicitiæ ſint: quippe cū pauci huiuſmodi reperiātur. ad de quòd tempore & conſuetudine indiget. nam, vt eſt in prouerbio, fieri nequit, vt mutuò homines ſeſe cognoſcant prius quàm ſalem qui dicitur, conſumpſerint:

A τὸ ὠφέλιμον· καὶ τῶν ἐν ἀκμῇ καὶ νέων ὅσοι τὸ συμφέρον διώκουσιν. οὐ πάνυ δ' οἱ τοιοῦτοι, οὐδὲ συζῶσι μετ' ἀλλήλων· ἐνίοτε γὰρ οὐδ' εἰσὶν ἡδεῖς· οὐδὲ δὴ προσδέονται τῆς τοιαύτης ὁμιλίας, ἐὰν μὴ ὠφέλιμοι ὦσιν· ἐπὶ τοσοῦτον γάρ εἰσιν ἡδεῖς, ἐφ' ὅσον ἐλπίδας ἔχουσιν ἀγαθοῦ. εἰς ταύτας δὲ καὶ τὴν ξενικὴν τιθέασιν. ἡ δὲ τῶν νέων φιλία δι' ἡδονὴν
B εἶναι δοκεῖ· κατὰ πάθος γὰρ οὗτοι ζῶσι, καὶ μάλιστα διώκουσι τὸ ἡδὺ αὐτοῖς καὶ τὸ παρόν· τῆς ἡλικίας δὲ μεταπιπτούσης, καὶ τὰ ἡδέα γίνεται ἕτερα· διὸ ταχέως γίγνονται φίλοι καὶ παύονται. ἅμα γὰρ τῷ ἡδεῖ ἡ φιλία μεταπίπτει. τῆς δὲ τοιαύτης ἡδονῆς ταχεῖα ἡ μεταβολή. καὶ ἐρωτικοὶ δ' οἱ νέοι· κατὰ πάθος γὰρ καὶ δι' ἡδονὴν τὸ πολὺ τῆς ἐρωτικῆς· διόπερ φιλοῦσι, καὶ ταχέως παύονται, πολλάκις τῆς αὐ-
C τῆς ἡμέρας μεταπίπτοντες. συνημερεύειν δὲ καὶ συζῆν οὗτοι βούλονται· γίνεται γὰρ αὐτοῖς τὸ κατὰ φιλίαν οὕτως.

Κεφάλαιον δ.

Τελεία δ' ἐστὶν ἡ τῶν ἀγαθῶν φιλία καὶ κατ' ἀρετὴν ὁμοίων· οὗτοι γὰρ τἀγαθὰ ὁμοίως ἀλλήλοις βούλονται, ᾗ ἀγαθοί· ἀγαθοὶ δ' εἰσὶ καθ' αὑτούς. οἱ δὲ βουλόμενοι τἀγαθὰ τοῖς φί-
D λοις, ἐκείνων ἕνεκα, μάλιστα φίλοι· δι' αὑτοὺς γὰρ οὕτως ἔχουσι, καὶ οὐ κατὰ συμβεβηκός· διαμένει οὖν ἡ τούτων φιλία, ἕως ἂν ἀγαθοὶ ὦσιν· ἡ δ' ἀρετὴ μόνιμον. καὶ ἔστιν ἑκάτερος ἁπλῶς ἀγαθὸς, καὶ τῷ φίλῳ· οἱ γὰρ ἀγαθοὶ, καὶ ἁπλῶς ἀγαθοὶ, καὶ ἀλλήλοις ὠφέλιμοι. ὁμοίως δὲ καὶ ἡδεῖς· οἱ ἀγαθοὶ γὰρ, καὶ ἁπλῶς ἡδεῖς, καὶ ἀλλήλοις. ἑκάστῳ γὰρ καθ' ἡδονήν εἰσιν αἱ οἰ-
E κεῖαι πράξεις καὶ αἱ τοιαῦται· τῶν ἀγαθῶν δὲ, τοιαῦται ἢ ὅμοιαι. ἡ τοιαύτη δὲ φιλία, μόνιμος εὐλόγως ἐστί· συνάπτει γὰρ ἐν αὐτῇ πάνθ' ὅσα δεῖ τοῖς φίλοις ὑπάρχειν· πᾶσα γὰρ φιλία δι' ἀγαθόν ἐστιν, ἢ δι' ἡδονὴν, ἢ ἁπλῶς, ἢ τῷ φιλοῦντι, καὶ καθ' ὁμοιότητά τινα. ταύτῃ δὲ πάντα ὑπάρχει τὰ εἰρημένα καθ' αὑτούς. ταύτῃ γὰρ ὅμοια καὶ τὰ λοιπὰ, τό, τε ἁ-
F πλῶς ἀγαθὸν, καὶ ἡδὺ ἁπλῶς ἐστι. μάλιστα δὲ ταῦτα φιλητά· καὶ τὸ φιλεῖν δὲ καὶ ἡ φιλία ἐν τούτοις μάλιστα καὶ ἀρίστη. σπανίας δ' εἰκὸς τὰς τοιαύτας εἶναι· ὀλίγοι γὰρ οἱ τοιοῦτοι. ἔτι δὲ, προσδεῖται χρόνου καὶ συνηθείας· κατὰ τὴν παροιμίαν γὰρ οὐκ ἔστιν εἰδῆσαι ἀλλήλοις, πρὶν τοὺς λεγομένοις ἅλας συναναλῶσαι·

οὐδ'